A
Στρ. Αμέλει, δίδασκε. θυμόσοφός ἐστι φύσει.
Εὐθύς γέ τοι παιδάριον ὂν τυννουτονί,
Επλαττεν ἔνδον οἰκίας. ναῦς τ' ἔγλυφεν.
Αμαξίδας δὲ σκυτίνας εἰργάζετο.
Κἀκ τῶν σιδίων βατράχους ἐποίει. πῶς δοκεῖς;
Οπως δ' ἐκείνω τὼ λόγω μαθήσεται
Τὸν κρείττον' ὅστις ἐστὶ καὶ τὸν ἥττονα.
B
Εὰν δὲ μὴ, τὸν γοῦν ἄδικον πάσῃ τέχνῃ.
Σω. Αὐτὸς μαθήσεται παρ' αὐτοῖν τοῖν λόγοιν.
Στρ. Εγὼ δ' ἀπέσομαι. τοῦτο δ' οὖν μέμνησ' ὅπως
Πρὸς πάντα τὰ δίκαι' ἀντιλέγειν δυνήσεται.

ST. *Ne sis sollicitus, sed doce: ingeniosus est*
*Suapte natura: nam tantillus cùm adhuc*
*Puer esset: ædificabat hîc intus casas,*
*Naues sculpebat, & plostella scortea*
*Fingebat: etiam ranas faciebat sibi*
*E punicorum malorum putamine.*
*Quid tu censes? etiam illos sermones duos*
*Superiorem atque inferiorem illum posse discernere?*
*Sin minus ambos, saltem inferiorem, omni modo.*
SO. *Agè, ipsemet ab ipsis discat sermonibus.*
ST. *Abeo hinc: tu fili memineris, vt ad omnia*
*Quæ iusta sint, possis mihi contradicere.*

Σχόλια. Θυμόσοφός ἐστι.] ἐκ φύσεως ἔχει σοφίαν. ἐκ τοῦ ἰδίου θυμοῦ σοφὸς, καὶ οὐκ ἐκ μαθήσεως. Σιδίων] ἐκ τῶν C λεπύρων τῶν ῥοιῶν. ἐκ μὲν τῶν δερμάτων τροχοὺς καὶ ἁμάξια. ὅταν δὲ καταφάγωσι τὰ ἐντὸς, ἐκ τῶν λεπύρων βατράχους γλύφουσιν. εἶτα τὸ πῶς δοκεῖς θαυμάζων προφέρεται καθ' ἑαυτόν. βούλεται δὲ αὐτὸν ὡς ἐκ παιδὸς ἀποδεῖξαι εὐφυᾶ, καὶ γλύφειν ἀστείως δυνάμενον.

## ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΤΡΙΤΟΥ
*Σκηνὴ δευτέρα.*

*Αναπαιστικοὶ Δίμετροι.*

D

## ΔΙΚΑΙΟΣ, ΑΔΙΚΟΣ, ΧΟΡΟΣ.

BISETVS. Μετὰ τοῦ τῶν Νεφελῶν Χοροῦ δύω ἄνδρε προσέρχονται, ὧν ὁ μὲν, Δίκαιος λόγος, ὁ δὲ, Ἄδικος λόγος ἐκαλεῖτο, οὗτοι ῥητά τε, καὶ ἄρρητα λέγοντες, καὶ μακρολογοῦντες ἀλλήλους λοιδοροῦσι, καὶ συκοφαντοῦσι.

Δι. Χώρει δευρὶ δεῖξον σαυτὸν
Τοῖσι θεαταῖς καίπερ θρασὺς ὤν.
E
Αδ. Ἴθ' ὅποι χρῄζεις. πολὺ γὰρ μᾶλλον
Σ' ἐν τοῖς πολλοῖσι λέγων ἀπολῶ.
Δι. Απολεῖς σύ; τίς ὤν; ἀδ. λόγος. δι. ἥττων γ' ὤν.
Αδ. Αλλά σε νικῶ, τὸν ἐμοῦ κρείττω
Φάσκοντ' εἶναι. δι. τί σοφὸν ποιῶν;
Αδ. Γνώμας καινὰς ἐξευρίσκων.
Δι. Ταῦτα γὰρ ἀνθεῖ διὰ τουτουσὶ
Τοὺς ἀνοήτους. ἀδ. οὐκ, ἀλλὰ σοφούς.
F
Δι. Απολῶ σε κακῶς. ἀδ. εἰπὲ τί ποιῶν.
Δι. Τὰ δίκαια λέγων. ἀδ. ἀλλ' ἀνατρέψω
Ταῦτ' ἀντιλέγων. οὐδὲ γὰρ εἶναι
Πάνυ φημὶ δίκην. δι. οὐκ εἶναι φής;
Αδ. Φέρε γὰρ ποῦ 'στι. δι. παρὰ τοῖσι θεοῖς.
Αδ. Πῶς δῆτα δίκης οὔσης, ὁ Ζεὺς
Οὐκ ἀπόλωλε τὸν πατέρ' αὑτοῦ
Δήσας; δι. αἰβοῖ. τουτὶ καὶ δὴ

## ACTVS III. SCENA II.
*Anapæstici Quaternarij.*

## IVSTVS, INIVSTVS, CHORVS.

*EXi huc: & teipsum commonstra*
*Spectatoribus, audax sis licet.*
IN. *Apage hinc, quò lubet: ego enim fando*
*Te hîc in populo perdam potius.*
IV. *Tunè me perdas? quis homo es?* IN. *Sermo.*
IV. *At me inferior.* IN. *Sed te vincam:*
*Etiamsi tu superiorem*
*Te iactes.* IV. *quo ingenio fretus?*
IN. *Noua commenta inueniam.* IV. *ista vigent*
*Apud hos stultos.* IN. *minimè, sed apud*
*Sapientes.* IV. *ego malè te perdam.*
IN. *Quidnam acturus?* IV. *quæ sunt iusta,*
*Dicturus.* IN. *at euertam hæc contradicendo: nam nihil esse aio*
*Ius.* IV. *quid? num ius nihil esse inquis?*
IN. *Agè, dic tu, vbi ius est?* IV. *Apud Diuos.*
IN. *At si illic est: quomodo Iuppiter,*
*Constrictum ob patrem, non pessimè*
*Perijt?* IV. *ehem, eòn' procedit*

G

Σχόλια. Χώρει δευρί.] δεῖξον σαυτόν. διπλῆ κορωνὶς ἀποχωρησάντων ὑποκριτῶν. μέλος δὲ τοῦ χοροῦ οὐ κεῖται. ἀλλὰ γέγραπται μὲν ἐν μέσῳ ὁ χορὸς καὶ ἐπεὶ εἰς θέσιν ἀναπαιστικὴν τῶν ὑποκριτῶν. καὶ διὰ τὰ πρόσωπα οὐ τελείας ἔχει τὰς συζυγίας ὑποκεῖνται δὲ ἐπὶ τῆς σκηνῆς ἐν πλεκτοῖς οἰκίσκοις οἱ λόγοι δίκην ὀρνέων διαμαχόμενοι. τοῦ δὲ χοροῦ τὸ πρόσωπον ἐκλέλοιπεν. ἐπιγραφὴ δὲ φέρεται χοροῦ. ὁ δὲ κρείττων λόγος καὶ ὁ ἥττων διαλέγονται. ἄλλως. χώρει δευρί. εἴσθεσις διπλῆς καὶ σχῆμα δικανικὸν ἐκ κώλων ἀναπαιστικῶν. μέ. ὧν τὸ κή. τὸ λέ. καὶ τὸ λθ. μονόμετρα ἀκατάληκτα. τὰ δὲ λοιπὰ πάντα δίμετρα ἀκατάληκτα. τῶν δύο προσώπων ὡς ἐπιτοπλεῖστον διμέτροις κῶλον ἀποτελούντων ὧν τὸ τελευταῖον κλαύσει τὴν χεῖρ' ἐπιβάλλεις, ἐφθημιμερές. ἰστέον δὲ ὅτι τὸ κή κῶλον τετραβράχυ